# 0345-0407 - Iohannes Chrysostomus - De sancto Meletio Antiocheno

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 039 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

De sancto Meletio Antiocheno

[00001] ΟΜΙΛΙΑ ΕΓΚΩΜΙΑΣΤΙΚΗ Εἰς τὸν ἐν ἁγίοις Πατέρα ἡμῶν Μελέτιον ἀρχιεπίσκοπον Ἀντιοχείας τῆς μεγάλης, καὶ εἰς τὴν σπουδὴν τῶν συνελθόντων.

50.515

[00002] α΄.

[00003] Πανταχοῦ τῆς ἱερᾶς ταύτης ἀγέλης περιφέρων τοὺς ὀφθαλμοὺς, καὶ τὴν πόλιν ἅπασαν ἐνταῦθα παροῦσαν βλέπων, οὐκ ἔχω τίνα μακαρίσω πρότερον·

[00004] τὸν ἅγιον Μελέτιον, ὅτι τοσαύτης καὶ μετὰ θάνατον ἀπολαύει τιμῆς, ἢ τὴν ὑμετέραν ἀγάπην, ὅτι τοιαύτην καὶ μετὰ τελευτὴν περὶ τοὺς ποιμένας τοὺς ὑμετέρους εὔνοιαν ἐπιδείκνυσθε.

[00005] Μακάριος μὲν γὰρ ἐκεῖνος, ὅτι τοιοῦτον ἴσχυσεν ἀφεῖναι φίλτρον πᾶσιν ὑμῖν, μακάριοι δὲ καὶ ὑμεῖς, ὅτι τῆς ἀγάπης δεξάμενοι τὴν παρακαταθήκην, ἀκέραιον αὐτὴν τῷ παρακαταθεμένῳ μέχρι τοῦ νῦν φυλάττοντες διεμείνατε.

[00006] Καὶ γὰρ πέμπτον ἔτος ἤδη παρέδραμεν, ἐξ οὗ πρὸς τὸν ποθούμενον ἀπεδήμησεν Ἰησοῦν ἐκεῖνος, καὶ καθάπερ χθὲς καὶ πρώην αὐτὸν ἑωρακότες, οὕτω μετὰ ζέοντος τοῦ φίλτρου πρὸς αὐτὸν ἀπηντήκατε τήμερον.

[00007] Διὰ ταῦτα ζηλωτὸς ἐκεῖνος, ὅτι τοιούτους ἐγέννησεν υἱούς·

[00008] ζηλωτοὶ δὲ καὶ ὑμεῖς, ὅτι τοιοῦτον ἐκληρώθητε πατέρα.

[00009] Γενναία ἡ ῥίζα καὶ θαυμασία, ἀλλὰ καὶ οἱ καρποὶ τῆς ῥίζης ἄξιοι ταύτης.

[00010] Καὶ γὰρ καθάπερ ῥίζα τις θαυμαστὴ, τοῖς κόλποις κρυπτομένη τῆς γῆς, αὐτὴ μὲν οὐ φαίνεται, διὰ δὲ τῶν καρπῶν τῆς οἰκείας ἀρετῆς τὴν ἰσχὺν ἐπιδείκνυται, οὕτω δὴ καὶ ὁ μακάριος Μελέτιος, ἐν τῇ λάρνακι ταύτῃ κρυπτόμενος, αὐτὸς μὲν ἡμῖν τοῖς τοῦ σώματος ὀφθαλμοῖς οὐκ ἔστι καταφανὴς, διὰ δὲ ὑμῶν τῶν καρπῶν τῆς οἰκείας χάριτος τὴν ἰσχὺν ἐπιδείκνυται·

[00011] κἂν ἡμεῖς σιγήσωμεν, ἀρκεῖ μόνη ἡ ἑορτὴ καὶ τῆς ὑμετέρας σπουδῆς ἡ θερμότης σάλπιγγος λαμπρότερον ἀναβοῆσαι τοῦ ἁγίου Μελετίου τὸ φιλότεκνον·

[00012] οὕτω γὰρ ὑμῶν τὴν διάνοιαν ἐξέκαυσε πρὸς τὸν ἔρωτα τὸν αὑτοῦ, ὡς καὶ πρὸς ψιλὸν τὸ ὄνομα διαθερμαίνεσθαι, καὶ πρὸς αὐτὴν διανίστασθαι τὴν προσηγορίαν.

[00013] Διὰ τοῦτο καὶ ἐγὼ νῦν οὐχ ἁπλῶς, ἀλλ' ἐπίτηδες καὶ ἀπὸ σπουδῆς συνεχῶς αὐτὸ τὸ ὄνομα τοῖς ἐμαυτοῦ λόγοις ἐνείρω.

[00014] Καὶ καθάπερ τις στέφανον πλέκων χρυσοῦν, εἶτα μαργαρίτας ἐντιθεὶς τῇ πυκνότητι τῶν λίθων, λαμπρότερον ἐργάζεται τὸ διάδημα, οὕτω δὴ κἀγὼ τὸν τῶν ἐγκωμίων στέφανον τῇ μακαρίᾳ πλέκων κεφαλῇ τήμερον, ὥσπερ τινῶν μαργαριτῶν πυκνότητα τῆς προσηγορίας αὐτοῦ τὴν συνέχειαν ἐνυφαίνω τῷ λόγῳ, ποθεινότερον ταύτῃ καὶ λαμπρότερον κατασκευάζειν αὐτὸν προσδοκῶν.

[00015] Οὗτος γὰρ φιλούντων ὁ νόμος καὶ τοιοῦτον τὸ ἔθος, ὡς καὶ ψιλὰ τὰ ὀνόματα περιπτύσσεσθαι τῶν ἐρωμένων, καὶ πρὸς αὐτὰς διαθερμαίνεσθαι τὰς προσηγορίας·

[00016] ὃ δὴ καὶ ὑμεῖς πεπόνθατε ἐπὶ τοῦ μακαρίου τούτου.

[00017] Παρὰ γὰρ τὴν ἀρχὴν αὐτὸν εἰς τὴν πόλιν εἰσελθόντα δεξάμενοι, τὸ παιδίον ἕκαστος τὸ ἑαυτοῦ ἀπὸ τῆς προσηγορίας ἐκαλεῖτε τῆς ἐκείνου, διὰ τῆς προσηγορίας εἰς τὴν οἰκίαν ἕκαστος τὴν ἑαυτοῦ τὸν ἅγιον εἰσάγειν νομίζοντες, καὶ πατέρας, καὶ πάππους, καὶ προγόνους παρατρέχουσαι αἱ μητέρες τὸ ὄνομα τοῦ μακαρίου Μελετίου τοῖς τεχθεῖσι παιδίοις ἐπετίθεσαν.

[00018] Ἐνίκα γὰρ τὴν φύσιν ὁ τῆς εὐλαβείας πόθος, καὶ τὰ τικτόμενα λοιπὸν οὐκ ἀπὸ τῆς κατὰ φύσιν φιλοστοργίας μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς πρὸς τὴν [50.516] προσηγορίαν ἐκείνην διαθέσεως ποθεινὰ τοῖς φυτευσαμένοις ἦν.

[00019] Τὸ γὰρ ὄνομα αὐτὸ καὶ συγγενείας κόσμον, καὶ οἰκίας ἀσφάλειαν, καὶ τοῖς καλουμένοις σωτηρίαν, καὶ τοῦ πόθου παραμυθίαν εἶναι ἐνόμιζον·

[00020] καὶ καθάπερ ἐν σκότῳ καθήμενοί τινες μιᾶς λαμπάδος ἁφθείσης πολλοὺς ἀνάψαντες λύχνους εἰς τὴν οἰκίαν ἕκαστος εἰσάγει τὴν ἑαυτοῦ·

[00021] οὕτω δὴ καὶ τῆς προσηγορίας ἐκείνης ὥσπερ φωτὸς εἰς τὴν πόλιν ἐμπεσούσης, ἕκαστος ὥσπερ λύχνον ἀνάπτων εἰς τὴν οἰκίαν εἰσῆγε τὴν ἑαυτοῦ τὸ τοῦ μακαρίου τότε ἐκείνου ὄνομα, ὥσπερ τινὰ μυρίων ἀγαθῶν θησαυρὸν διὰ τῆς ἐπωνυμίας ἐπισπώμενος·

[00022] καὶ ἦν εὐλαβείας διδασκαλία τὸ γιγνόμενον.

[00023] Συνεχῶς γὰρ ἀναγκαζόμενοι τῆς προσηγορίας ἐκείνης μεμνῆσθαι, καὶ τὸν ἅγιον ἐκεῖνον ἔχειν ἐπὶ τῆς ψυχῆς, παντὸς ἀλόγου πάθους καὶ

λογισμοῦ φυγαδευτήριον εἶχον τὸ ὄνομα·

[00024] καὶ οὕτω πολὺ γέγονε τοῦτο, ὡς πανταχοῦ καὶ ἐν ἀμφόδοις, καὶ ἐν ἀγορᾷ, καὶ ἐν ἀγροῖς, καὶ ἐν ὁδοῖς τούτῳ πάντοθεν περιηχεῖσθαι τῷ ὀνόματι.

[00025] Οὐ πρὸς τὸ ὄνομα δὲ τοσοῦτον ἐπάθετε μόνον, ἀλλὰ καὶ πρὸς αὐτὸν τοῦ σώματος τὸν τύπον.

[00026] Ὅπερ γοῦν ἐν ὀνόμασιν ἐποιήσατε, τοῦτο καὶ ἐπὶ τῆς εἰκόνος ἐπράξατε τῆς ἐκείνου.

[00027] Καὶ γὰρ καὶ ἐν δακτυλίων σφενδόναις, καὶ ἐν ἐκτυπώμασι, καὶ ἐν φιάλαις, καὶ ἐν θαλάμων τοίχοις, καὶ πανταχοῦ τὴν εἰκόνα τὴν ἁγίαν ἐκείνην διεχάραξαν πολλοὶ, ὡς μὴ μόνον ἀκούειν τῆς ἁγίας προσηγορίας ἐκείνης, ἀλλὰ καὶ ὁρᾷν αὐτοῦ πανταχοῦ τοῦ σώματος τὸν τύπον, καὶ διπλῆν τινα τῆς ἀποδημίας ἔχειν παραμυθίαν.

[00028] Καὶ γὰρ εὐθέως εἰσελθὼν, τῆς πόλεως ἐξεβάλλετο, τῶν τῆς ἀληθείας ἐχθρῶν ἀπελαυνόντων αὐτόν.

[00029] Ὁ δὲ Θεὸς συνεχώρησεν ὁμοῦ καὶ τὴν ἀρετὴν τὴν ἐκείνου, καὶ τὴν ἀνδρείαν τὴν ὑμετέραν δεῖξαι βουλόμενος.

[00030] Ἐπειδὴ γὰρ εἰσελθὼν, καθάπερ Μωϋσῆς εἰς Αἴγυπτον, αἱρετικῆς τὴν πόλιν ἀπήλλαξε πλάνης, καὶ τὰ σεσηπότα μέλη καὶ ἀνιάτως ἔχοντα τοῦ λοιποῦ σώματος ἀποκόψας, ἀκέραιον τὴν ὑγίειαν ἐπανήγαγε τῷ πλήθει τῆς Ἐκκλησίας, οἱ τῆς ἀληθείας ἐχθροὶ τὴν διόρθωσιν οὐκ ἐνεγκόντες, τὸν βασιλεύοντα τότε κινήσαντες, τῆς πόλεως αὐτὸν ἐξέβαλον, ταύτῃ προσδοκῶντες περιέσεσθαι τῆς ἀληθείας, καὶ τὴν τῶν γεγενημένων ἀνατρέψειν διόρθωσιν.

[00031] Ἐγίνετο δὲ τοὐναντίον ἢ προσεδόκησαν, καὶ μᾶλλον καὶ ὑμῶν ὁ ζῆλος ἐδείκνυτο, καὶ ἐκείνου διέλαμπεν ἡ τῆς διδασκαλικῆς ἐπιστήμης ἀπόδειξις·

[00032] ἐκείνου μὲν ὅτι ἐν τριάκοντα ἡμέραις οὐδ' ὅλαις ἴσχυσεν οὕτως ὑμᾶς θεμελιῶσαι ἐν τῷ ζήλῳ τῆς πίστεως, ὡς μυρίων μετὰ ταῦτα προσβαλόντων πνευμάτων, ἄσειστον μεῖναι τὴν διδασκαλίαν ἐκείνην·

[00033] ὑμῶν δὲ ἡ θερμότης ἐδείκνυτο, ὅτι ἐν τριάκοντα οὐδὲ ὅλαις ἡμέραις οὕτω μετὰ ἀκριβείας τὰ παρ' ἐκείνου καταβληθέντα ἐδέξασθε σπέρματα, ὡς πρὸς τὸ βάθος τῆς διανοίας παραπέμψαι τὰς ῥίψας, καὶ μηδενὶ τῶν προσενεχθέντων ἐνδοῦναι λοιπὸν πειρασμῶν.

[00034] β'.

[00035] Ἄξιον δὲ μηδὲ ἐκεῖνο παραδραμεῖν, ὃ περὶ τὴν δίωξιν αὐτὴν συνέβαινεν.

[00036] Ἐπειδὴ γὰρ ὁ τῆς πόλεως ἄρχων τὸ ὄχημα ἐλαύνων διὰ μέσης ἐξῄει τῆς ἀγορᾶς, πλησίον αὐτοῦ τὸν ἅγιον καθίσας ἐκεῖνον, νιφάδες λίθων πανταχόθεν ἐφέροντο ἐπὶ τὴν τοῦ ἄρχοντος κεφαλὴν, οὐ φερούσης τῆς πόλεως τὸν χωρισμὸν, ἀλλ' αἱρουμένης καὶ τῆς παρούσης ἐκπεσεῖν ζωῆς, ἢ τὸν ἅγιον ἐκεῖνον ἀποσπώμενον ἰδεῖν.

[00037] Τί οὖν ὁ μακάριος ἐκεῖνος τότε ἐποίησεν;

[00038] Ἰδὼν τὰς τῶν λίθων βολὰς τοῖς ἱματίοις τοῖς ἑαυτοῦ περιβαλὼν ἀπέκρυψε τοῦ ἄρχοντος τὴν κεφαλὴν, ὁμοῦ τε τοὺς ἐχθροὺς τῇ τῆς ἐπιεικείας ἐντρέπων ὑπερβολῇ, καὶ τοὺς αὑτοῦ μαθητὰς παιδεύων, ὅσην περὶ τοὺς ἀδικοῦντας ἀνεξικακίαν ἐπιδείκνυσθαι χρή·

[00039] καὶ ὡς οὐ μόνον οὐδὲν αὐτοὺς ἐργάζεσθαι δεινὸν προσῆκεν, ἀλλ' εἰ καὶ παρ' ἑτέρων αὐτοῖς ἐπῄει κίνδυνος, καὶ τοῦτον μετὰ πάσης ἀποκρούεσθαι τῆς σπουδῆς.

[00040] Τίς οὐκ ἔφριξε τότε, καὶ τῆς πόλεως τὸν μανικὸν ὁρῶν ἔρωτα, καὶ τοῦ διδασκάλου τὴν ἄκραν φιλοσοφίαν, καὶ τὴν ἐπιείκειαν, καὶ τὴν πρᾳότητα καταπληττόμενος;

[00041] καὶ γὰρ ἦν παράδοξα τὰ τότε συμβαίνοντα.

[00042] Ὁ ποιμὴν ἀπηλαύνετο, καὶ τὰ πρόβατα οὐκ ἐσκορπίζετο·

[00043] ὁ κυβερνήτης ἐξεβάλλετο, καὶ τὸ σκάφος οὐκ ἐβαπτίζετο·

[00044] ὁ γεωργὸς ἐδιώκετο, καὶ ἡ ἄμπελος ἐκαρποφόρει πλέον.

[00045] Ἐπειδὴ γὰρ τῷ συνδέσμῳ τῆς ἀγάπης πρὸς ἀλλήλους ἦτε συνδεδεμένοι, οὐ πειρασμῶν ἐπαγωγαὶ, οὐ κινδύνων ἐπαναστάσεις, οὐχ ὁδοῦ μῆκος, οὐ χρόνου πλῆθος, οὐκ ἄλλο οὐδὲν ἴσχυσεν ὑμᾶς διαστῆσαι τῆς συνουσίας τοῦ μακαρίου ποιμένος·

[00046] ἀλλ' ἐξεβάλλετο μὲν, ὥστε μακρὰν γενέσθαι τῶν τέκνων, συνέβαινε δὲ τοὐναντίον.

[00047] Μᾶλλον γὰρ ὑμῖν συνεσφίγγετο τοῖς τῆς ἀγάπης δεσμοῖς·

[00048] καὶ πᾶσαν τὴν πόλιν μεθ' ἑαυτοῦ λαβὼν εἰς Ἀρμενίαν ἀπῄει.

[00049] Τὸ μὲν γὰρ σῶμα ἐπὶ τῆς πατρίδος ἵδρυτο·

[00050] ὁ λογισμὸς δὲ καὶ ὁ νοῦς ὥσπερ ὑπό τινων πτερῶν κουφιζόμενος τῆς τοῦ Πνεύματος χάριτος, καὶ διὰ παντὸς ὑμῖν ἐπιχωριάζων, ἅπαντα τοῦτον τὸν δῆμον ἐν τοῖς ἐκείνου περιέφερε σπλάγχνοις, ὃ δὴ καὶ ὑμεῖς ἐπάσχετε.

[00051] Καθήμενοι γὰρ ἐνταῦθα καὶ τῇ πόλει περιγραφόμενοι, τῷ πνεύματι τῆς ἀγάπης εἰς Ἀρμενίαν καθ' ἑκάστην ἱπτάμενοι τὴν ἡμέραν, καὶ τὴν ἁγίαν ὄψιν ὁρῶντες, καὶ τῆς ἡδίστης καὶ μακαρίας φωνῆς ἀκούοντες οὕτως ἐπανῄειτε πάλιν.

[00052] Καὶ διὰ ταύτην συνεχώρησεν ὁ Θεὸς τὴν αἰτίαν εὐθέως αὐτὸν ἀπελαθῆναι τῆς πόλεως, ἵνα καὶ ὑμῶν, ὥσπερ ἔφθην εἰπὼν, τὸ στεῤῥὸν τῆς πίστεως ἐπιδείξῃ τοῖς ὑμᾶς πολεμοῦσιν ἐχθροῖς, κἀκείνου τὸ περὶ τὴν διδασκαλίαν ἔμπειρον.

[00053] Καὶ δῆλον ἐκεῖθεν.

[00054] Μετὰ γὰρ τὴν πρώτην δίωξιν ἐπανελθὼν οὐχὶ τριάκοντα ἡμέρας μόνον, ἀλλὰ καὶ μῆνας, καὶ ἐνιαυτὸν, καὶ ἕνα, καὶ δύο, καὶ πλείους ἐνταῦθα διέτριψεν.

[00055] Ἐπειδὴ γὰρ ἱκανὴν ἐδώκατε τῆς περὶ τὴν πίστιν στεῤῥότητος ἀπόδειξιν, ἔδωκεν ὑμῖν μετὰ ἀδείας ἐντρυφῆσαι τῷ πατρὶ πάλιν.

[00056] Καὶ γὰρ τρυφὴ ἦν μεγίστη τὸ τῆς ἁγίας ὄψεως ἀπολαύειν ἐκείνης.

[00057] Οὐ γὰρ δὴ διδάσκων μόνον, οὐδὲ φθεγγόμενος, ἀλλὰ καὶ ὁρώμενος ἁπλῶς, ἱκανὸς ἦν ἅπασαν ἀρετῆς διδασκαλίαν εἰς τὴν τῶν ὁρώντων ψυχὴν εἰσαγαγεῖν.

[00058] Ὅτε γοῦν πρὸς ὑμᾶς εἰσήλαυνε, καὶ πᾶσα ἡ πόλις πρὸς τὴν ὁδὸν μεθωρμίζετο, οἱ μὲν πλησίον ἤρχοντο, καὶ ποδῶν ἥπτοντο, καὶ χεῖρας κατεφίλουν, καὶ φωνῆς ἤκουον·

[00059] οἱ δὲ ὑπὸ τοῦ πλήθους κωλυόμενοι καὶ πόῤῥωθεν αὐτὸν ὁρῶντες μόνον, ὥσπερ ἱκανὴν ἀπὸ τῆς ὄψεως δεξάμενοι τὴν εὐλογίαν, καὶ οὐδὲν ἔλαττον τῶν ἐγγὺς γενομένων ἐσχηκότες, οὕτω μετὰ πληροφορίας [50.518] ἁπάσης ἀπῄεσαν·

[00060] καὶ ὅπερ ἐπὶ τῶν ἀποστόλων ἐγίγνετο, τοῦτο καὶ ἐπὶ τούτου συνέβαινε.

[00061] Καθάπερ γὰρ ἐπὶ τῶν ἀποστόλων ὅσοι προσελθεῖν καὶ ἐγγὺς γενέσθαι οὐκ ἴσχυον, τῆς σκιᾶς αὐτῶν ἐκτεινομένης, καὶ τῶν πόῤῥωθεν ἁπτομένης, τὴν αὐτὴν ἐπεσπῶντο χάριν, καὶ ὁμοίως ὑγιαίνοντες ἀπῄεσαν·

[00062] οὕτω δὴ καὶ νῦν ὅσοι προσελθεῖν οὐκ ἴσχυον, ὥσπερ τινὸς δόξης πνευματικῆς ἀπὸ τῆς ἁγίας ἐκείνης κεφαλῆς ἐκπεμπομένης, καὶ πρὸς τοὺς ποῤῥωτάτω διικνουμένης αἰσθανόμενοι, πάσης εὐλογίας ἀπὸ τῆς θεωρίας μόνης πληρούμενοι πάντες ἀπῄεσαν.

[00063] γʹ.

[00064] Ἐπεὶ δὲ ἔδοξε τῷ κοινῷ τῶν ὅλων Θεῷ καλέσαι λοιπὸν αὐτὸν ἐκ τῆς παρούσης ζωῆς, καὶ εἰς τὸν τῶν ἀγγέλων κατατάξαι χορόν·

[00065] οὐδὲ τοῦτο ἁπλῶς ἐγίνετο, ἀλλὰ καλεῖ μὲν αὐτὸν βασιλέως γράμματα, τοῦ Θεοῦ τὸν βασιλέα κινήσαντος·

[00066] καλεῖ δὲ αὐτὸν οὐκ ἐγγύς που οὐδὲ πλησίον, ἀλλ' εἰς τὴν Θρᾴκην αὐτὴν, ἵνα καὶ Γαλάται, καὶ Βιθυνοὶ, καὶ Κίλικες, καὶ Καππαδόκαι, καὶ οἱ τὴν Θρᾴκην προσοικοῦντες ἅπαντες τὰ ἡμέτερα μάθωσιν ἀγαθά·

[00067] ἵνα οἱ πανταχοῦ τῆς γῆς ἐπίσκοποι ὥσπερ εἰς ἀρχέτυπον εἰκόνα τὴν ἁγιωσύνην ἰδόντες τὴν ἐκείνου, καὶ παράδειγμα σαφὲς τῆς κατὰ τὴν ἀρχὴν ταύτην διακονίας ἐξ ἐκείνου λαβόντες, κανόνα τινὰ, καθ' ὃν δεῖ τὰς Ἐκκλησίας οἰκονομεῖν καὶ κυβερνᾷν, ἔχωσιν ἀσφαλῆ καὶ σαφέστατον.

[00068] Καὶ γὰρ διὰ τὸ τῆς πόλεως μέγεθος καὶ διὰ τὴν τοῦ βασιλέως προσεδρίαν πολλοὶ πολλαχόθεν τῆς οἰκουμένης ἐκεῖ συνέῤῥεον τότε·

[00069] οἱ δὲ τῶν Ἐκκλησιῶν ἐπίσκοποι διὰ τὸ τὰς Ἐκκλησίας ἐκ μακροῦ πολέμου καὶ χειμῶνος ἀνενεγκούσας ἀρχὴν εἰρήνης καὶ γαλήνης λαμβάνειν, βασιλικοῖς ἐκεῖ γράμμασιν ἐκαλοῦντο πάντες.

[00070] Τότε τοίνυν καὶ οὗτος ἐκεῖ παραγίνεται.

[00071] Καὶ καθάπερ ἐπὶ τῶν τριῶν παίδων, ἡνίκα ἀνακηρύττεσθαι ἔμελλον, καὶ στεφανοῦσθαι, σβέσαντες τὴν τοῦ πυρὸς δύναμιν, καταπατήσαντες τοῦ τυράννου τὸν τῦφον, ἅπαν ἀσεβείας εἶδος ἐλέγξαντες, ἐκ τῆς οἰκουμένης αὐτοῖς τὸ θέατρον ἐκάθητο πάσης οἱ γὰρ πανταχοῦ γῆς σατράπαι, καὶ ὕπατοι, καὶ τοπάρχαι ἐκαλοῦντο μὲν δι' ἑτέραν αἰτίαν, ἐγίγνοντο δὲ θεαταὶ τῶν ἀθλητῶν ἐκείνων·

[00072] οὕτω δὴ καὶ τότε συνέβαινεν, ὥστε γενέσθαι λαμπρὸν τῷ μακαρίῳ τὸ θέατρον·

[00073] ἐπ' ἄλλῃ κληθέντες αἰτίᾳ οἱ τὰς πανταχοῦ γῆς οἰκονομοῦντες Ἐκκλησίας ἐπίσκοποι παρεγένοντο, καὶ τὸν ἅγιον ἐθεώρουν ἐκεῖνον.

[00074] Καὶ ἐπειδὴ ἐθεάσαντο, καὶ κατέμαθον αὐτοῦ ἀκριβῶς τὴν εὐλάβειαν, τὴν σοφίαν, τὸν ζῆλον τῆς πίστεως, πᾶσαν ἀπηρτισμένην ἐν αὐτῷ τὴν ἱερεῖ πρέπουσαν ἀρετὴν, τότε αὐτὸν πρὸς ἑαυτὸν ἐκάλεσεν ὁ Θεός.

[00075] Ἐγίνετο δὲ τοῦτο καὶ διὰ φειδῶ τῆς πόλεως τῆς ἡμετέρας.

[00076] Εἰ γὰρ ἐνταῦθα τὴν ψυχὴν ἀφῆκεν, ἀφόρητος ἔμελλεν ὁ τῆς συμφορᾶς ὄγκος ἔσεσθαι.

[00077] Τίς γὰρ ἂν ἠνέσχετο τὸν μακάριον ἐκεῖνον ἰδεῖν τὰς ἐσχάτας ἀναπνέοντα ἀναπνοάς;

[00078] τίς ἂν ἠνέσχετο ἰδεῖν τὰ βλέφαρα ἐκεῖνα τῶν ὀφθαλμῶν καθαιρούμενα, καὶ στόμα συγκλειόμενον ἔσχατα ῥήματα ἐπισκῆπτον;

[00079] [50.519] τίς βλέπων ταῦτα οὐκ ἂν ἐξέστη τῷ μεγέθει τῆς συμφορᾶς;

[00080] Ἵν' οὖν μὴ τοῦτο γένηται, ᾠκονόμησεν ὁ Θεὸς ἐπ' ἀλλοτρίας αὐτὸν ἀφεῖναι τὴν ψυχὴν, ἵν' ἐν τῷ μεταξὺ χρόνῳ προμελετήσαντες τὴν συμφορὰν, ὅταν ἴδωμεν εἰσελθόντα τὸν νεκρὸν, μὴ καταπλαγῶμεν τὴν ψυχὴν, ἐνεθισθείσης τῷ θρήνῳ τῆς διανοίας·

[00081] ὃ δὴ καὶ ἐγένετο.

[00082] Ἐπειδὴ γὰρ τὸ ἅγιον ἐκεῖνο σῶμα ἡ πόλις ἐδέξατο, ἐπένθησε μὲν καὶ οὕτω, καὶ ἀνωλόλυξε μέγα·

[00083] ἀλλὰ ταχέως κατέλυσε τὸ πένθος, ἀπό τε τῆς εἰρημένης αἰτίας, καὶ τῆς μελλούσης ῥηθήσεσθαι.

[00084] Ὁ γὰρ φιλάνθρωπος Θεὸς κατελεήσας ἡμᾶς τῆς ὀδύνης, ταχέως ἡμῖν ἕτερον ποιμένα ἀνέδειξε, μετὰ πολλῆς ἀκριβείας τοὺς ἐκείνου διατηροῦντα χαρακτῆρας, καὶ τὴν εἰκόνα τῆς ἀρετῆς διασώζοντα πάσης·

[00085] ὃς καὶ ἐπὶ τὸν θρόνον ἀναβὰς, εὐθέως τὴν πενθήρη στολὴν ἡμᾶς ἀπέδυσε, καὶ τὴν ὀδύνην ἔσβεσε, τὴν δὲ τοῦ μακαρίου μνήμην ἀνενέωσε μᾶλλον.

[00086] Καὶ τὸ μὲν ἄλγος ἐμαραίνετο, ὁ δὲ ἔρως σφοδρότερον ἀνήπτετο, καὶ ἡ ἀθυμία τέλεον ἀνῃρεῖτο·

[00087] καίτοι γε ἐν ταῖς ἀποβολαῖς τῶν φιλτάτων οὐχ οὕτω συμβαίνειν εἴωθεν·

[00088] ἀλλ' ὅταν τις υἱὸν ποθεινὸν, ἢ καὶ ἄνδρα αἰδέσιμον ἀποβάλῃ γυνὴ, ἕως μὲν ἂν αὐτοῦ διατηρῇ τὴν μνήμην ζέουσαν, καὶ τὸ πένθος σφοδρότερον ἐντρέφεται τῇ ψυχῇ·

[00089] ὅταν δὲ χρόνος ἐπεισελθὼν καταμαλάξῃ τὸ πένθος, συναπεσβέσθη τῇ σφοδρότητι τῆς ὀδύνης καὶ τὸ τῆς μνήμης ἀκμάζον·

[00090] ἐπὶ δὲ τοῦ μακαρίου τούτου τοὐναντίον ἐγίγνετο·

[00091] ἡ μὲν ἀθυμία

[00092] [50.520] παντελῶς ἐξεβάλλετο, ἡ δὲ μνήμη οὐ συναπῄει τῇ λύπῃ, ἀλλὰ σφοδρότερον ηὔξετο.

[00093] Καὶ μάρτυρες ὑμεῖς οἱ μετὰ τοσοῦτον χρόνον καθάπερ μέλισσαι κηρίῳ περιιπτάμενοι τῷ σώματι τοῦ μακαρίου Μελετίου·

[00094] τὸ δὲ αἴτιον οὐ φύσεως ἦν τὸ πρὸς ἐκεῖνον φίλτρον, ἀλλὰ κρίσεως ὀρθῆς λογισμός.

[00095] Διὰ τοῦτο οὐκ ἐσβέσθη θανάτῳ, οὐκ ἠμαυρώθη χρόνῳ·

[00096] ἀλλ' αὔξεται, καὶ πρὸς τὸ μεῖζον ἐπιδίδωσιν·

[00097] οὐχὶ τῶν ἑωρακότων μόνον ὑμῶν αὐτὸν, ἀλλὰ καὶ τῶν οὐκ εἰδότων.

[00098] Τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι καὶ ὅσοι νεώτεροι τῆς ἐκείνου ζωῆς γεγόνασι, καὶ οὗτοι αὐτοὶ πρὸς τὸν αὐτὸν ἐκκαίονται πόθον.

[00099] Ὑμεῖς μὲν οὖν οἱ πρεσβῦται πλεονεκτεῖτε τῶν οὐχ ἑωρακότων αὐτὸν αὐτὸ δὴ τοῦτο τὸ συγγενέσθαι, καὶ τῆς ἁγίας ἀπολαῦσαι συνουσίας·

[00100] οἱ δὲ οὐχ ἑωρακότες πλεονεκτοῦσιν ὑμῶν, ὅτι μὴ τεθεαμένοι τὸν ἄνδρα, ὑμῶν τῶν ἑωρακότων οὐκ ἐλάττονα περὶ αὐτὸν ἐπιδείκνυνται πόθον.

[00101] Εὐξώμεθα δὴ κοινῇ πάντες, ἄρχοντες καὶ ἀρχόμενοι, γυναῖκες καὶ ἄνδρες, πρεσβῦται καὶ νέοι, δοῦλοι καὶ ἐλεύθεροι, αὐτὸν τὸν μακάριον Μελέτιον κοινωνὸν τῆς εὐχῆς ταύτης λαβόντες καὶ γὰρ πλείων αὐτῷ παῤῥησία νῦν, καὶ θερμότερον πρὸς ἡμᾶς τὸ φίλτρον, αὐξηθῆναι ταύτην ἡμῖν τὴν ἀγάπην, καὶ καταξιωθῆναι πάντας ἡμᾶς, καθάπερ ἐνταῦθα πλησίον τῆς λάρνακος ταύτης ἐσμὲν, οὕτω κἀκεῖ δυνηθῆναι γενέσθαι πλησίον τῆς αἰωνίας αὐτοῦ σκηνῆς, καὶ τῶν ἀποκειμένων τυχεῖν ἀγαθῶν·

[00102] ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00103] Ἀμήν.

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - De sancto Meletio Antiocheno**

**Litterarum Omnium Conspectus: 115 Litterae, quae repetitae sunt in 11,432 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 877 | Α | 0913 | 3 |
| β | 0946 | 52 | Β | 0914 | 1 |
| γ | 0947 | 178 | Γ | 0915 | 3 |
| δ | 0948 | 201 | Δ | 0916 | 0 |
| ε | 0949 | 634 | Ε | 0917 | 4 |
| ζ | 0950 | 27 | Ζ | 0918 | 0 |
| η | 0951 | 162 | Η | 0919 | 1 |
| θ | 0952 | 166 | Θ | 0920 | 9 |
| ι | 0953 | 405 | Ι | 0921 | 4 |

| | | | | | |
|---|---|---|---|---|---|
| κ | 0954 | 439 | Κ | 0922 | 20 |
| λ | 0955 | 290 | Λ | 0923 | 1 |
| μ | 0956 | 314 | Μ | 0924 | 13 |
| ν | 0957 | 1,056 | Ν | 0925 | 0 |
| ξ | 0958 | 43 | Ξ | 0926 | 0 |
| ο | 0959 | 735 | Ο | 0927 | 4 |
| π | 0960 | 401 | Π | 0928 | 6 |
| ρ | 0961 | 391 | Ρ | 0929 | 0 |
| ς | 0962 | 523 | • | 0930 | 0 |
| σ | 0963 | 331 | Σ | 0931 | 2 |
| τ | 0964 | 914 | Τ | 0932 | 8 |
| υ | 0965 | 175 | Υ | 0933 | 0 |
| φ | 0966 | 75 | Φ | 0934 | 0 |
| χ | 0967 | 97 | Χ | 0935 | 1 |
| ψ | 0968 | 18 | Ψ | 0936 | 0 |
| ω | 0969 | 144 | Ω | 0937 | 1 |
| ῤ | 8164 | 7 | | | 0 |
| ῥ | 8165 | 13 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 115 | έ | 8051 | 140 | ή | 8053 | 37 | ί | 8055 | 217 | ό | 8057 | 141 | ύ | 8059 | 59 | ώ | 8061 | 23 |
| ὰ | 8048 | 95 | ὲ | 8050 | 49 | ὴ | 80852 | 118 | ὶ | 8054 | 193 | ὸ | 8056 | 143 | ὺ | 8058 | 19 | ὼ | 8060 | 10 |
| ᾶ | 8118 | 22 | | | 0 | ῆ | 8134 | 124 | ῖ | 8150 | 81 | | | 0 | ῦ | 8166 | 106 | ῶ | 8182 | 75 |
| ἀ | 7936 | 127 | ἐ | 7952 | 187 | ἠ | 7968 | 3 | ἰ | 7984 | 59 | ὀ | 8000 | 10 | ὐ | 8016 | 98 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 16 | ἑ | 7953 | 16 | ἡ | 7969 | 30 | ἱ | 7985 | 24 | ὁ | 8001 | 27 | ὑ | 8017 | 32 | ὡ | 8033 | 7 |
| ἂ | 7938 | 5 | ἒ | 7954 | 0 | ἢ | 7970 | 4 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 6 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 14 | ἔ | 7956 | 22 | ἤ | 7972 | 3 | ἴ | 7988 | 9 | ὄ | 8004 | 12 | ὔ | 8020 | 3 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 13 | ἕ | 7957 | 7 | ἥ | 7973 | 1 | ἵ | 7989 | 5 | ὅ | 8005 | 21 | ὕ | 8021 | 16 | ὥ | 8037 | 11 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 7 | ἶ | 7990 | 4 | | | 0 | ὖ | 8022 | 3 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 0 | | | 0 | ὗ | 8023 | 6 | ὧ | 8039 | 1 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 1 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 4 | | | 0 | ῃ | 8131 | 9 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 13 |
| ᾴ | 8116 | 2 | | | 0 | ῄ | 8132 | 8 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 3 | | | 0 | ῇ | 8135 | 14 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 20 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - De sancto Meletio Antiocheno**
**Verborum Omnium Conspectus: 973Verba, quae repetita sunt in 1,431,325 occasionibus**

---

**α** [00002]
**ἀγαθά** [00066]
**ἀγαθῶν** [00021] [00101]
**ἀγάπην** [00004] [00101]
**ἀγάπης** [00005] [00045] [00047] [00051]
**ἀγγέλων** [00064]
**ἀγέλης** [00003]
**ἁγίαν** [00027] [00051]
**ἁγίας** [00027] [00056] [00062] [00099]
**ἁγίοις** [00001]
**ἅγιον** [00004] [00017] [00023] [00036] [00036] [00073] [00082]
**ἁγίου** [00011]
**ἁγίῳ** [00102]
**ἁγιωσύνην** [00067]
**ἀγορᾷ** [00024]
**ἀγορᾶς** [00036]
**ἀγροῖς** [00024]
**ἀδείας** [00055]
**ἀδικοῦντας** [00038]
**ἀθλητῶν** [00071]
**ἀθυμία** [00086] [00091]
**αἱ** [00017]
**Αἴγυπτον** [00030]
**αἰδέσιμον** [00088]
**αἱρετικῆς** [00030]
**αἱρουμένης** [00036]
**αἰσθανόμενοι** [00062]
**αἰτίᾳ** [00073]
**αἰτίαν** [00052] [00071]
**αἰτίας** [00083]
**αἴτιον** [00094]
**αἰῶνας** [00102]
**αἰωνίας** [00101]
**αἰώνων** [00102]
**ἀκέραιον** [00005] [00030]
**ἀκμάζον** [00089]
**ἀκούειν** [00027]
**ἀκούοντες** [00051]
**ἄκραν** [00040]
**ἀκριβείας** [00033] [00084]
**ἀκριβῶς** [00074]
**ἄλγος** [00086]
**ἀληθείας** [00028] [00030] [00030]
**ἀλλ** [00013] [00036] [00039] [00046] [00066] [00088] [00096]
**ἀλλὰ** [00009] [00018] [00025] [00027] [00054] [00057] [00065] [00083] [00092] [00094] [00097]
**ἄλλη** [00073]
**ἀλλήλους** [00045]
**ἄλλο** [00045]
**ἀλλοτρίας** [00080]
**ἀλόγου** [00023]
**ἅμα** [00102]
**Ἀμήν** [00103]
**ἄμπελος** [00044]
**ἀμφόδοις** [00024]
**ἂν** [00077] [00078] [00079] [00088]
**ἀναβὰς** [00085]
**ἀναβοῆσαι** [00011]
**ἀναγκαζόμενοι** [00023]
**ἀνακηρύττεσθαι** [00071]
**ἀναπνέοντα** [00077]
**ἀναπνοάς** [00077]
**ἀνάπτων** [00021]
**ἀνατρέψειν** [00030]

**ἀνάψαντες** [00020]
**ἄνδρα** [00088] [00100]
**ἀνδρείαν** [00029]
**ἄνδρες** [00101]
**ἀνέδειξε** [00084]
**ἀνενεγκούσας** [00069]
**ἀνενέωσε** [00085]
**ἀνεξικακίαν** [00038]
**ἀνήπτετο** [00086]
**ἀνῃρεῖτο** [00086]
**ἀνιάτως** [00030]
**Ἀντιοχείας** [00001]
**ἀνωλόλυξε** [00082]
**ἄξιοι** [00009]
**Ἄξιον** [00035]
**ἅπαν** [00071]
**ἅπαντα** [00050]
**ἅπαντες** [00066]
**ἅπασαν** [00003] [00057]
**ἁπάσης** [00059]
**ἀπεδήμησεν** [00006]
**ἀπέδυσε** [00085]
**ἀπέκρυψε** [00038]
**ἀπελαθῆναι** [00052]
**ἀπελαυνόντων** [00028]
**ἀπῄει** [00048]
**ἀπῄεσαν** [00059] [00061] [00062]
**ἀπηλαύνετο** [00042]
**ἀπήλλαξε** [00030]
**ἀπηντήκατε** [00006]
**ἀπηρτισμένην** [00074]
**ἁπλῶς** [00013] [00057] [00065]
**ἀποβάλῃ** [00088]
**ἀποβολαῖς** [00087]
**ἀπόδειξιν** [00055]
**ἀπόδειξις** [00031]
**ἀποδημίας** [00027]
**ἀποκειμένων** [00101]
**ἀποκόψας** [00030]
**ἀποκρούεσθαι** [00039]
**ἀπολαύει** [00004]
**ἀπολαύειν** [00056]
**ἀπολαῦσαι** [00099]
**ἀποσπώμενον** [00036]
**ἀποστόλων** [00060] [00061]
**ἁπτομένης** [00061]
**ἀρετὴν** [00029] [00074]
**ἀρετῆς** [00010] [00057] [00084]
**ἀρκεῖ** [00011]
**Ἀρμενίαν** [00048] [00051]
**ἀρχέτυπον** [00067]
**ἀρχὴν** [00017] [00067] [00069]
**ἀρχιεπίσκοπον** [00001]
**ἀρχόμενοι** [00101]
**ἄρχοντες** [00101]
**ἄρχοντος** [00036] [00038]
**ἄρχων** [00036]
**ἀσεβείας** [00071]
**ἄσειστον** [00032]
**ἀσφάλειαν** [00019]
**ἀσφαλῆ** [00067]
**αὔξεται** [00096]
**αὐξηθῆναι** [00101]
**αὐτὰς** [00015]
**αὐτὴ** [00010]
**αὐτὴν** [00005] [00012] [00035] [00061] [00066]
**αὐτὸ** [00013] [00019] [00099]
**αὐτοὶ** [00098]
**αὐτοῖς** [00039] [00071]
**αὐτὸν** [00006] [00006] [00014] [00017] [00025] [00030] [00052] [00059] [00064] [00065] [00066] [00074] [00080] [00097] [00098] [00099] [00100] [00101]
**αὐτόν** [00028]
**αὐτὸς** [00010]
**αὐτοῦ** [00014] [00027] [00036] [00074] [00088] [00101]
**αὑτοῦ** [00012] [00038]
**αὐτοὺς** [00039]
**αὐτῷ** [00074] [00101]
**αὐτῶν** [00061]
**ἀφεῖναι** [00005] [00080]
**ἀφῆκεν** [00076]
**ἁφθείσης** [00020]
**ἀφόρητος** [00076]

**β** [00034]
**βάθος** [00033]
**βασιλέα** [00065]
**βασιλεύοντα** [00030]
**βασιλέως** [00065] [00068]
**βασιλικοῖς** [00069]
**Βιθυνοὶ** [00066]
**βλέπων** [00003] [00079]
**βλέφαρα** [00078]
**βολὰς** [00038]
**βουλόμενος** [00029]

γ [00063]
**Γαλάται** [00066]
**γαλήνης** [00069]
**γὰρ** [00005] [00006] [00010] [00012] [00015] [00017] [00018] [00019] [00023] [00027] [00028] [00030] [00036] [00041] [00045] [00047] [00049] [00051] [00054] [00055] [00056] [00057] [00061] [00068] [00071] [00076] [00077] [00082] [00084] [00098] [00101]
γε [00087]
**γεγενημένων** [00030]
**γεγόνασι** [00098]
**γέγονε** [00024]
**γενέσθαι** [00046] [00061] [00072] [00101]
**γένηται** [00080]
**Γενναία** [00009]
**γένοιτο** [00102]
**γενομένων** [00059]
**γεωργὸς** [00044]
**γῆς** [00010] [00067] [00071] [00073]
**γιγνόμενον** [00022]
**γοῦν** [00026] [00058]

**γράμμασιν** [00069]
**γράμματα** [00065]
**γυναῖκες** [00101]
**γυνὴ** [00088]

**δακτυλίων** [00027]
**δὲ** [00005] [00008] [00010] [00010] [00025] [00029] [00031] [00033] [00035] [00046] [00050] [00059] [00064] [00066] [00069] [00071] [00075] [00085] [00086] [00089] [00090] [00092] [00094] [00100]
**δεῖ** [00067]
**δεινὸν** [00039]
**δεῖξαι** [00029]
**δεξάμενοι** [00005] [00017] [00059]
**δεσμοῖς** [00047]
**δὴ** [00010] [00014] [00016] [00021] [00050] [00057] [00062] [00072] [00081] [00098] [00099] [00101]
**δῆλον** [00053]
**δῆμον** [00050]
**δι** [00071] [00102]
**Διὰ** [00007] [00013] [00095]
**διὰ** [00010] [00010] [00017] [00021] [00036] [00050] [00052] [00068] [00068] [00069] [00075]
**διάδημα** [00014]
**διαθερμαίνεσθαι** [00012] [00015]
**διαθέσεως** [00018]
**διακονίας** [00067]
**διανίστασθαι** [00012]
**διάνοιαν** [00012]
**διανοίας** [00033] [00080]
**διαστῆσαι** [00045]
**διασώζοντα** [00084]
**διατηρῇ** [00088]
**διατηροῦντα** [00084]
**διδασκαλία** [00022]
**διδασκαλίαν** [00032] [00052] [00057]
**διδασκαλικῆς** [00031]
**διδασκάλου** [00040]
**διδάσκων** [00057]
**διέλαμπεν** [00031]
**διεμείνατε** [00005]
**διέτριψεν** [00054]
**διεχάραξαν** [00027]
**διικνουμένης** [00062]
**διόρθωσιν** [00030] [00030]
**διπλῆν** [00027]
**δίωξιν** [00035] [00054]
**δόξα** [00102]
**δόξης** [00062]
**δοῦλοι** [00101]
**δύναμιν** [00071]
**δυνηθῆναι** [00101]
**δύο** [00054]

**ἑαυτὸν** [00074]
**ἑαυτοῦ** [00017] [00017] [00020] [00021] [00038] [00048]
**ἐβαπτίζετο** [00043]
**ἐγγὺς** [00059] [00061]
**ἐγγύς** [00066]
**ἐγένετο** [00081]
**ἐγέννησεν** [00007]
**ἐγίγνετο** [00060] [00090]
**ἐγίγνοντο** [00071]
**ἐγίνετο** [00065]
**Ἐγίνετο** [00031] [00075]
**ΕΓΚΩΜΙΑΣΤΙΚΗ** [00001]
**ἐγκωμίων** [00014]
**ἐγὼ** [00013]
**ἐδείκνυτο** [00031] [00033]
**ἐδέξασθε** [00033]
**ἐδέξατο** [00082]
**ἐδιώκετο** [00044]
**ἔδοξε** [00064]
**ἐδώκατε** [00055]
**ἔδωκεν** [00055]
**ἐθεάσαντο** [00074]
**ἐθεώρουν** [00073]
**ἔθος** [00015]
**Εἰ** [00076]
**εἰ** [00039]
**εἶδος** [00071]
**εἰδότων** [00097]
**εἰκόνα** [00027] [00067] [00084]
**εἰκόνος** [00026]
**εἶναι** [00019]
**εἰπὼν** [00052]
**εἰρημένης** [00083]
**εἰρήνης** [00069]
**Εἰς** [00001]
**εἰς** [00001] [00017] [00017] [00020] [00021] [00021] [00030] [00048] [00051] [00057] [00064] [00066] [00067] [00102]
**εἰσαγαγεῖν** [00057]
**εἰσάγει** [00020]
**εἰσάγειν** [00017]
**εἰσελθόντα** [00017] [00080]
**εἰσελθὼν** [00028] [00030]
**εἰσῆγε** [00021]
**εἰσήλαυνε** [00058]
**εἶτα** [00014]
**εἶχον** [00023]
**εἴωθεν** [00087]
**ἐκ** [00064] [00069] [00071]
**ἐκάθητο** [00071]
**ἐκαλεῖτε** [00017]
**ἐκάλεσεν** [00074]
**ἐκαλοῦντο** [00069] [00071]
**ἐκαρποφόρει** [00044]
**ἑκάστην** [00051]
**ἕκαστος** [00017] [00017] [00020] [00021]
**ἐκεῖ** [00068] [00069] [00070]
**ἐκεῖθεν** [00053]
**ἐκεῖνα** [00078]
**ἐκείνην** [00018] [00027] [00032]
**ἐκείνης** [00021] [00023] [00027] [00056] [00062]
**ἐκεῖνο** [00035] [00082]
**ἐκεῖνον** [00023] [00036] [00036] [00073] [00077] [00094]
**ἐκεῖνος** [00005] [00006] [00007] [00037]
**ἐκείνου** [00017] [00021] [00026] [00029] [00031] [00032] [00033] [00050] [00067] [00067] [00084] [00098]

ἐκείνων [00071]
ἐκκαίονται [00098]
Ἐκκλησίας [00030] [00067] [00069] [00073]
Ἐκκλησιῶν [00069]
ἐκληρώθητε [00008]
ἐκπεμπομένης [00062]
ἐκπεσεῖν [00036]
ἐκτεινομένης [00061]
ἐκτυπώμασι [00027]
ἔλαττον [00059]
ἐλάττονα [00100]
ἐλαύνων [00036]
ἐλέγξαντες [00071]
ἐλεύθεροι [00101]
ἐμαραίνετο [00086]
ἐμαυτοῦ [00013]
ἔμελλεν [00076]
ἔμελλον [00071]
ἔμπειρον [00052]
ἐμπεσούσης [00021]
ἐν [00001] [00010] [00020] [00024] [00024] [00024] [00024] [00026] [00027] [00027] [00027] [00027] [00032] [00032] [00033] [00050] [00074] [00080] [00087]
ἕνα [00054]
ἐνδοῦναι [00033]
ἐνεγκόντες [00030]
ἐνεθισθείσης [00080]
ἐνείρω [00013]
ἐνιαυτὸν [00054]
Ἐνίκα [00018]
ἐνόμιζον [00019]
ἐνταῦθα [00003] [00051] [00054] [00076] [00101]
ἐντιθεὶς [00014]
ἐντρέπων [00038]
ἐντρέφεται [00088]
ἐντρυφῆσαι [00055]
ἐνυφαίνω [00014]
ἐξ [00006] [00067]
ἐξεβάλλετο [00028] [00043] [00046] [00092]
ἐξέβαλον [00030]
ἐξέκαυσε [00012]
ἐξέστη [00079]
ἐξῄει [00036]
ἑορτὴ [00011]
ἐπ [00073] [00080]
ἐπαγωγαὶ [00045]
ἐπάθετε [00025]
ἐπαναστάσεις [00045]
ἐπανελθὼν [00054]
ἐπανήγαγε [00030]
ἐπανῄειτε [00051]
ἐπάσχετε [00050]
Ἐπεὶ [00064]
ἐπειδὴ [00074]
Ἐπειδὴ [00030] [00036] [00045] [00055] [00082]
ἐπεισελθὼν [00089]
ἐπένθησε [00082]
ἐπεσπῶντο [00061]
ἐπετίθεσαν [00017]
ἐπῄει [00039]
ἐπὶ [00016] [00023] [00026] [00036] [00049] [00060] [00060] [00061] [00071] [00085] [00090]
ἐπιδείκνυνται [00100]
ἐπιδείκνυσθαι [00038]
ἐπιδείκνυσθε [00004]
ἐπιδείκνυται [00010] [00010]
ἐπιδείξῃ [00052]
ἐπιδίδωσιν [00096]
ἐπιείκειαν [00040]
ἐπιεικείας [00038]
ἐπισκῆπτον [00078]
ἐπίσκοποι [00067] [00069] [00073]
ἐπισπώμενος [00021]
ἐπιστήμης [00031]
ἐπίτηδες [00013]
ἐπιτυχεῖν [00102]
ἐπιχωριάζων [00050]
ἐποιήσατε [00026]
ἐποίησεν [00037]
ἐπράξατε [00026]
ἐπωνυμίας [00021]
ἐργάζεσθαι [00039]
ἐργάζεται [00014]
ἐρωμένων [00015]
ἔρως [00086]
ἔρωτα [00012] [00040]
ἔσβεσε [00085]
ἐσβέσθη [00095]
ἔσεσθαι [00076]
ἐσκορπίζετο [00042]
ἐσμὲν [00101]
ἔστι [00010]
ἔστιν [00098]
ἔσχατα [00078]
ἐσχάτας [00077]
ἐσχηκότες [00059]
ἑτέραν [00071]
ἕτερον [00084]
ἑτέρων [00039]
ἔτος [00006]
εὐθέως [00028] [00052] [00085]
εὐλάβειαν [00074]
εὐλαβείας [00018] [00022]
εὐλογίαν [00059]
εὐλογίας [00062]
εὔνοιαν [00004]
Εὐξώμεθα [00101]
εὐχῆς [00101]
ἐφέροντο [00036]
ἔφθην [00052]
ἔφριξε [00040]
ἔχειν [00023] [00027]
ἐχθροὶ [00030]
ἐχθροῖς [00052]
ἐχθροὺς [00038]
ἐχθρῶν [00028]
ἔχοντα [00030]
ἔχω [00003]
ἔχωσιν [00067]

**ἑωρακότες** [00006] [00100]
**ἑωρακότων** [00097] [00099] [00100]
**ἕως** [00088]

**ζέοντος** [00006]
**ζέουσαν** [00088]
**ζῆλον** [00074]
**ζῆλος** [00031]
**ζήλῳ** [00032]
**ζηλωτοὶ** [00008]
**ζηλωτὸς** [00007]
**ζωῆς** [00036] [00064] [00098]

**ἡ** [00009] [00011] [00011] [00031] [00033] [00044] [00058] [00082] [00086] [00091] [00092]
**ἢ** [00004] [00031] [00036] [00088]
**ἤδη** [00006]
**ἡδίστης** [00051]
**ἤκουον** [00058]
**ἡμᾶς** [00084] [00085] [00101] [00101] [00102]
**ἠμαυρώθη** [00095]
**ἡμεῖς** [00011]
**ἡμέραις** [00032] [00033]
**ἡμέραν** [00051]
**ἡμέρας** [00054]
**ἡμέτερα** [00066]
**ἡμετέρας** [00075]
**ἡμῖν** [00010] [00084] [00101]
**ἡμῶν** [00001] [00102]
**ἦν** [00018] [00022] [00041] [00056] [00057] [00094]
**ἠνέσχετο** [00077] [00078]
**ἡνίκα** [00071]
**ἥπτοντο** [00058]
**ἤρχοντο** [00058]
**ἦτε** [00045]
**ηὔξετο** [00092]

**θαλάμων** [00027]
**θάνατον** [00004]
**θανάτῳ** [00095]
**θαυμασία** [00009]
**θαυμαστὴ** [00010]
**θαυμαστὸν** [00098]
**θεαταὶ** [00071]
**θέατρον** [00071] [00072]
**θεμελιῶσαι** [00032]
**Θεὸς** [00029] [00052] [00080] [00084]
**Θεός** [00074]
**Θεοῦ** [00065]
**θερμότερον** [00101]
**θερμότης** [00011] [00033]
**Θεῷ** [00064]
**θεωρίας** [00062]
**θησαυρὸν** [00021]
**Θρᾴκην** [00066] [00066]
**θρήνῳ** [00080]
**θρόνον** [00085]

**ἰδεῖν** [00036] [00077] [00078]
**ἰδόντες** [00067]
**ἵδρυτο** [00049]
**ἴδωμεν** [00080]
**Ἰδὼν** [00038]
**ἱερᾶς** [00003]
**ἱερεῖ** [00074]
**Ἰησοῦ** [00102]
**Ἰησοῦν** [00006]
**ἱκανὴν** [00055] [00059]
**ἱκανὸς** [00057]
**ἱματίοις** [00038]
**ἵν** [00080]
**Ἵν** [00080]
**ἵνα** [00052] [00066] [00067]
**ἱπτάμενοι** [00051]
**ἰσχὺν** [00010] [00010]
**ἴσχυον** [00061] [00062]
**ἴσχυσεν** [00005] [00032] [00045]

**κἀγὼ** [00014]
**καθ** [00051] [00067]
**καθαιρούμενα** [00078]
**Καθάπερ** [00061]
**καθάπερ** [00006] [00010] [00014] [00020] [00030] [00071] [00093] [00101]
**Καθήμενοι** [00051]
**καθήμενοί** [00020]
**καθίσας** [00036]
**καίτοι** [00087]
**κἀκεῖ** [00101]
**κἀκείνου** [00052]
**καλεῖ** [00065] [00066]
**καλέσαι** [00064]
**καλουμένοις** [00019]
**κἂν** [00011]
**κανόνα** [00067]
**Καππαδόκαι** [00066]
**καρποὶ** [00009]
**καρπῶν** [00010] [00010]
**καταβληθέντα** [00033]
**καταμαλάξῃ** [00089]
**καταξιωθῆναι** [00101]
**καταπατήσαντες** [00071]
**καταπλαγῶμεν** [00080]
**καταπληττόμενος** [00040]
**κατασκευάζειν** [00014]
**κατατάξαι** [00064]
**καταφανὴς** [00010]
**κατελεήσας** [00084]
**κατέλυσε** [00083]

**κατέμαθον** [00074]
**κατεφίλουν** [00058]
**κεφαλῇ** [00014]
**κεφαλὴν** [00036] [00038]
**κεφαλῆς** [00062]
**κηρίῳ** [00093]
**Κίλικες** [00066]
**κίνδυνος** [00039]
**κινδύνων** [00045]
**κινήσαντες** [00030]
**κινήσαντος** [00065]
**κληθέντες** [00073]
**κοινῇ** [00101]
**κοινῷ** [00064]
**κοινωνὸν** [00101]
**κόλποις** [00010]
**κόσμον** [00019]
**κουφιζόμενος** [00050]
**κράτος** [00102]
**κρίσεως** [00094]
**κρυπτομένη** [00010]
**κρυπτόμενος** [00010]
**κυβερνᾷν** [00067]
**κυβερνήτης** [00043]
**Κυρίου** [00102]
**κωλυόμενοι** [00059]

**λαβόντες** [00067] [00101]
**λαβὼν** [00048]
**λαμβάνειν** [00069]
**λαμπάδος** [00020]
**λαμπρὸν** [00072]
**λαμπρότερον** [00011] [00014] [00014]
**λάρνακι** [00010]
**λάρνακος** [00101]
**λίθων** [00014] [00036] [00038]
**λογισμὸς** [00050]
**λογισμός** [00094]
**λογισμοῦ** [00023]
**λόγοις** [00013]
**λόγῳ** [00014]
**λοιπὸν** [00018] [00033] [00064]
**λοιποῦ** [00030]
**λύπῃ** [00092]
**λύχνον** [00021]
**λύχνους** [00020]

**μαθητὰς** [00038]
**μάθωσιν** [00066]
**μακαρίᾳ** [00014]
**μακαρίας** [00051]
**μακάριοι** [00005]
**μακάριον** [00077] [00101]
**Μακάριος** [00005]
**μακάριος** [00010] [00037]
**μακαρίου** [00016] [00017] [00021] [00045] [00085] [00090] [00093]
**μακαρίσω** [00003]
**μακαρίῳ** [00072]
**μακρὰν** [00046]
**μακροῦ** [00069]
**Μᾶλλον** [00047]
**μᾶλλον** [00031] [00085]
**μανικὸν** [00040]
**μαργαρίτας** [00014]
**μαργαριτῶν** [00014]
**μάρτυρες** [00093]
**μέγα** [00082]
**μεγάλης** [00001]
**μεγέθει** [00079]
**μέγεθος** [00068]
**μεγίστη** [00056]
**μεθ** [00048] [00102]
**μεθωρμίζετο** [00058]
**μεῖζον** [00096]
**μεῖναι** [00032]
**Μελέτιον** [00001] [00004] [00101]
**Μελέτιος** [00010]
**Μελετίου** [00011] [00017] [00093]
**μέλη** [00030]
**μέλισσαι** [00093]
**μελλούσης** [00083]
**μεμνῆσθαι** [00023]
**μὲν** [00005] [00010] [00010] [00032] [00046] [00049] [00058] [00065] [00071] [00082] [00086] [00088] [00091] [00099]
**μέσης** [00036]
**μεταξὺ** [00080]
**μέχρι** [00005]
**μηδὲ** [00035]
**μηδενὶ** [00033]
**μῆκος** [00045]
**μῆνας** [00054]
**μητέρες** [00017]
**μιᾶς** [00020]
**μνήμη** [00092]
**μνήμην** [00085] [00088]
**μνήμης** [00089]
**μόνη** [00011]
**μόνης** [00062]
**μόνον** [00018] [00025] [00027] [00039] [00054] [00057] [00059] [00097]
**μυρίων** [00021] [00032]
**Μωϋσῆς** [00030]

**νεκρὸν** [00080]
**νέοι** [00101]
**νεώτεροι** [00098]
**νιφάδες** [00036]
**νομίζοντες** [00017]
**νόμος** [00015]
**νοῦς** [00050]
**νῦν** [00005] [00013] [00062] [00101]

**ὁ** [00010] [00015] [00018] [00031] [00036] [00037] [00043] [00044] [00050] [00050] [00052] [00074] [00076] [00080] [00086]
**ὃ** [00016] [00035] [00050] [00081]
**Ὁ** [00029] [00042] [00084]
**ὄγκος** [00076]
**ὁδοῖς** [00024]
**ὁδὸν** [00058]
**ὁδοῦ** [00045]
**ὀδύνην** [00085]
**ὀδύνης** [00084] [00089]
**οἱ** [00009] [00030] [00058] [00059] [00066] [00067] [00069] [00071] [00073] [00093] [00099] [00100]
**οἰκείας** [00010] [00010]
**οἰκίαν** [00017] [00020] [00021]
**οἰκίας** [00019]
**οἰκονομεῖν** [00067]
**οἰκονομοῦντες** [00073]
**οἰκουμένης** [00068] [00071]
**ὅλαις** [00032] [00033]
**ὅλων** [00064]
**ΟΜΙΛΙΑ** [00001]
**ὁμοίως** [00061]
**ὁμοῦ** [00029] [00038]
**ὃν** [00067]
**ὄνομα** [00012] [00013] [00017] [00019] [00021] [00023] [00025]
**ὀνόμασιν** [00026]
**ὀνόματα** [00015]
**ὀνόματι** [00024]
**ὅπερ** [00060]
**Ὅπερ** [00026]
**ὁρᾷν** [00027]
**ὀρθῆς** [00094]
**ὁρώμενος** [00057]
**ὁρῶν** [00040]
**ὁρῶντες** [00051] [00059]
**ὁρώντων** [00057]
**ὃς** [00085]
**ὅσην** [00038]
**ὅσοι** [00061] [00062] [00098]
**ὅταν** [00080] [00088] [00089]
**Ὅτε** [00058]
**ὅτι** [00004] [00004] [00005] [00005] [00007] [00008] [00032] [00033] [00098] [00100]
**Οὐ** [00025] [00057]
**οὐ** [00010] [00036] [00039] [00045] [00045] [00045] [00092] [00094]
**οὗ** [00006] [00102] [00102]
**οὐδ** [00032]
**οὐδὲ** [00033] [00057] [00065] [00066]
**οὐδὲν** [00039] [00045] [00059]
**οὐκ** [00003] [00010] [00018] [00030] [00040] [00042] [00043] [00045] [00061] [00062] [00066] [00079] [00095] [00095] [00097] [00100]
**οὖν** [00037] [00080] [00099]
**οὗτοι** [00098]
**Οὗτος** [00015]
**οὗτος** [00070]
**οὕτω** [00006] [00010] [00012] [00014] [00021] [00024] [00033] [00059] [00062] [00072] [00082] [00087] [00101]
**οὕτως** [00032] [00051]
**οὐχ** [00013] [00045] [00087] [00099] [00100]
**οὐχὶ** [00054] [00097]
**ὀφθαλμοῖς** [00010]
**ὀφθαλμοὺς** [00003]
**ὀφθαλμῶν** [00078]
**ὄχημα** [00036]
**ὄψεως** [00056] [00059]
**ὄψιν** [00051]

**πάθους** [00023]
**παιδεύων** [00038]
**παιδίοις** [00017]
**παιδίον** [00017]
**παίδων** [00071]
**πάλιν** [00051] [00055]
**πάντας** [00101] [00102]
**πανταχόθεν** [00036]
**Πανταχοῦ** [00003]
**πανταχοῦ** [00024] [00027] [00027] [00067] [00071] [00073]
**παντελῶς** [00092]
**πάντες** [00062] [00069] [00101]
**πάντοθεν** [00024]
**παντὸς** [00023] [00050]
**πάππους** [00017]
**παρ** [00033] [00039]
**Παρὰ** [00017]
**παραγίνεται** [00070]
**παράδειγμα** [00067]
**παράδοξα** [00041]
**παραδραμεῖν** [00035]
**παρακαταθεμένῳ** [00005]
**παρακαταθήκην** [00005]
**παραμυθίαν** [00019] [00027]
**παραπέμψαι** [00033]
**παρατρέχουσαι** [00017]
**παρεγένοντο** [00073]
**παρέδραμεν** [00006]
**παροῦσαν** [00003]
**παρούσης** [00036] [00064]
**παῤῥησία** [00101]
**πᾶσα** [00058]
**πᾶσαν** [00048] [00074]
**πάσης** [00039] [00062] [00071] [00084]
**πᾶσιν** [00005]
**Πατέρα** [00001]
**πατέρα** [00008]
**πατέρας** [00017]
**Πατρὶ** [00102]
**πατρὶ** [00055]
**πατρίδος** [00049]
**πειρασμῶν** [00033] [00045]
**πέμπτον** [00006]
**πενθήρη** [00085]
**πένθος** [00083] [00088] [00089]
**πεπόνθατε** [00016]
**περὶ** [00004] [00035] [00038] [00052] [00055] [00100]
**περιβαλὼν** [00038]
**περιγραφόμενοι** [00051]
**περιέσεσθαι** [00030]
**περιέφερε** [00050]

**περιηχεῖσθαι** [00024]
**περιιπτάμενοι** [00093]
**περιπτύσσεσθαι** [00015]
**περιφέρων** [00003]
**πίστεως** [00032] [00052] [00074]
**πίστιν** [00055]
**πλάνης** [00030]
**πλείους** [00054]
**πλείων** [00101]
**πλέκων** [00014] [00014]
**πλέον** [00044]
**πλεονεκτεῖτε** [00099]
**πλεονεκτοῦσιν** [00100]
**πλήθει** [00030]
**πλῆθος** [00045]
**πλήθους** [00059]
**πληρούμενοι** [00062]
**πληροφορίας** [00059]
**πλησίον** [00036] [00058] [00066] [00101] [00101]
**Πνεύματι** [00102]
**πνεύματι** [00051]
**πνευματικῆς** [00062]
**Πνεύματος** [00050]
**πνευμάτων** [00032]
**ποδῶν** [00058]
**ποθεινὰ** [00018]
**ποθεινὸν** [00088]
**ποθεινότερον** [00014]
**πόθον** [00098] [00100]
**πόθος** [00018]
**πόθου** [00019]
**ποθούμενον** [00006]
**ποιμένα** [00084]
**ποιμένας** [00004]
**ποιμένος** [00045]
**ποιμὴν** [00042]
**πόλει** [00051]
**πολέμου** [00069]
**πολεμοῦσιν** [00052]
**πόλεως** [00028] [00030] [00036] [00036] [00040] [00052] [00068] [00075]
**πόλιν** [00003] [00017] [00021] [00030] [00048]
**πόλις** [00058] [00082]
**πολλαχόθεν** [00068]
**πολλῆς** [00084]
**πολλοὶ** [00027] [00068]
**πολλοὺς** [00020]
**πολὺ** [00024]
**πόῤῥωθεν** [00059] [00061]
**ποῤῥωτάτω** [00062]
**που** [00066]
**πρᾳότητα** [00040]
**πρέπουσαν** [00074]
**πρεσβῦται** [00099] [00101]
**πρόβατα** [00042]
**προγόνους** [00017]
**προμελετήσαντες** [00080]
**πρὸς** [00006] [00006] [00012] [00012] [00012] [00015] [00018] [00025] [00025] [00033] [00045] [00058] [00058] [00062] [00074] [00094] [00096] [00098] [00101]
**προσβαλόντων** [00032]
**προσδοκῶν** [00014]
**προσδοκῶντες** [00030]
**προσεδόκησαν** [00031]
**προσεδρίαν** [00068]
**προσελθεῖν** [00061] [00062]
**προσενεχθέντων** [00033]
**προσηγορίαν** [00012] [00018]
**προσηγορίας** [00014] [00015] [00017] [00017] [00021] [00023] [00027]
**προσῆκεν** [00039]
**προσοικοῦντες** [00066]
**πρότερον** [00003]
**πρώην** [00006]
**πρώτην** [00054]
**πτερῶν** [00050]
**πυκνότητα** [00014]
**πυκνότητι** [00014]
**πυρὸς** [00071]

**ῥηθήσεσθαι** [00083]
**ῥήματα** [00078]
**ῥίζα** [00009] [00010]
**ῥίζης** [00009]
**ῥίψας** [00033]

**σάλπιγγος** [00011]
**σατράπαι** [00071]
**σαφὲς** [00067]
**σαφέστατον** [00067]
**σβέσαντες** [00071]
**σεσηπότα** [00030]
**σιγήσωμεν** [00011]
**σκάφος** [00043]
**σκηνῆς** [00101]
**σκιᾶς** [00061]
**σκότῳ** [00020]
**σοφίαν** [00074]
**σπέρματα** [00033]
**σπλάγχνοις** [00050]
**σπουδὴν** [00001]
**σπουδῆς** [00011] [00013] [00039]
**στεῤῥὸν** [00052]
**στεῤῥότητος** [00055]
**στέφανον** [00014] [00014]
**στεφανοῦσθαι** [00071]
**στολὴν** [00085]
**στόμα** [00078]
**συγγενείας** [00019]
**συγγενέσθαι** [00099]
**συγκλειόμενον** [00078]
**συμβαίνειν** [00087]
**συμβαίνοντα** [00041]
**συμφορὰν** [00080]
**συμφορᾶς** [00076] [00079]
**συναπεσβέσθη** [00089]

**συναπῄει** [00092]
**συνδεδεμένοι** [00045]
**συνδέσμῳ** [00045]
**συνέβαινε** [00046] [00060]
**συνέβαινεν** [00035] [00072]
**συνελθόντων** [00001]
**συνέῤῥεον** [00068]
**συνεσφίγγετο** [00047]
**συνέχειαν** [00014]
**συνεχώρησεν** [00029] [00052]
**Συνεχῶς** [00023]
**συνεχῶς** [00013]
**συνουσίας** [00045] [00099]
**σφενδόναις** [00027]
**σφοδρότερον** [00086] [00088] [00092]
**σφοδρότητι** [00089]
**σῶμα** [00049] [00082]
**σώματι** [00093]
**σώματος** [00010] [00025] [00027] [00030]
**σωτηρίαν** [00019]

**τὰ** [00015] [00018] [00030] [00033] [00041] [00042] [00066] [00078]
**ταῖς** [00087]
**τὰς** [00015] [00033] [00038] [00067] [00069] [00073] [00077]
**ταῦτα** [00007] [00032] [00079]
**ταύτῃ** [00010] [00014] [00030]
**ταύτην** [00052] [00067] [00101]
**ταύτης** [00003] [00009] [00101] [00101]
**ταχέως** [00083] [00084]
**τε** [00038] [00083]
**τεθεαμένοι** [00100]
**τέκνων** [00046]
**τέλεον** [00086]
**τελευτὴν** [00004]
**τεχθεῖσι** [00017]
**τῇ** [00010] [00014] [00014] [00038] [00051] [00088] [00089] [00092]
**τήμερον** [00006] [00014]
**τὴν** [00001] [00003] [00004] [00005] [00010] [00010] [00012] [00012] [00014] [00017] [00017] [00017] [00017] [00018] [00018] [00020] [00020] [00021] [00021] [00021] [00027] [00027] [00029] [00029] [00029] [00029] [00030] [00030] [00030] [00030] [00032] [00035] [00036] [00038] [00040] [00040] [00040] [00048] [00051] [00051] [00052] [00052] [00054] [00055] [00057] [00058] [00059] [00061] [00066] [00066] [00067] [00067] [00067] [00068] [00071] [00074] [00074] [00074] [00076] [00080] [00080] [00080] [00084] [00085] [00085] [00085] [00088] [00101]
**τῆς** [00001] [00003] [00005] [00009] [00010] [00010] [00010] [00011] [00014] [00017] [00017] [00017] [00018] [00018] [00018] [00021] [00021] [00023] [00023] [00026] [00026] [00027] [00027] [00028] [00028] [00030] [00030] [00030] [00030] [00031] [00032] [00033] [00036] [00036] [00036] [00036] [00038] [00039] [00040] [00045] [00045] [00047] [00049] [00050] [00051] [00051] [00052] [00052] [00055] [00056] [00059] [00061] [00062] [00062] [00064] [00067] [00067] [00068] [00068] [00071] [00074] [00075] [00075] [00076] [00079] [00080] [00083] [00083] [00084] [00084] [00089] [00089] [00098] [00099] [00101] [00101] [00101]
**Τί** [00037]
**τικτόμενα** [00018]
**τιμῆς** [00004]
**τίνα** [00003]
**τινὰ** [00021] [00067]
**τινα** [00027]
**τινες** [00020]
**τινὸς** [00062]
**τινῶν** [00014]
**τινων** [00050]
**Τίς** [00040] [00077]
**τίς** [00078] [00079]
**τις** [00010] [00014] [00088]
**Τὸ** [00019] [00049] [00098]
**τὸ** [00011] [00012] [00013] [00014] [00015] [00017] [00017] [00017] [00021] [00022] [00023] [00025] [00033] [00036] [00043] [00052] [00052] [00056] [00068] [00069] [00071] [00072] [00082] [00083] [00086] [00088] [00089] [00089] [00094] [00094] [00096] [00099] [00101]
**τοιαύτην** [00004]
**τοίνυν** [00070]
**τοιοῦτον** [00005] [00008] [00015]
**τοιούτους** [00007]
**τοῖς** [00010] [00010] [00013] [00017] [00018] [00019] [00038] [00038] [00047] [00050] [00052]
**τοίχοις** [00027]
**τὸν** [00001] [00004] [00006] [00012] [00012] [00014] [00017] [00023] [00025] [00027] [00030] [00036] [00036] [00036] [00040] [00050] [00064] [00065] [00071] [00073] [00074] [00077] [00080] [00085] [00098] [00100] [00101]
**τοπάρχαι** [00071]
**τοσαύτης** [00004]
**τοσοῦτον** [00025] [00093]
**Τότε** [00070]
**τότε** [00021] [00030] [00037] [00040] [00041] [00068] [00072] [00074]
**τοῦ** [00005] [00006] [00010] [00011] [00016] [00017] [00019] [00021] [00025] [00027] [00030] [00036] [00038] [00040] [00045] [00050] [00059] [00065] [00068] [00071] [00071] [00085] [00090] [00093] [00102]
**τοὐναντίον** [00031] [00046] [00090]
**τοὺς** [00003] [00004] [00004] [00038] [00038] [00038] [00062] [00084] [00102]
**τοῦτό** [00098]
**τοῦτο** [00013] [00024] [00026] [00060] [00065] [00075] [00080] [00095] [00099]
**τοῦτον** [00039] [00050]
**τούτου** [00016] [00060] [00090]
**τούτῳ** [00024]
**τριάκοντα** [00032] [00033] [00054]
**τριῶν** [00071]
**τρυφὴ** [00056]
**τύπον** [00025] [00027]
**τυράννου** [00071]
**τῦφον** [00071]
**τυχεῖν** [00101]
**τῷ** [00005] [00014] [00024] [00030] [00032] [00045] [00051] [00055] [00064] [00072] [00079] [00080] [00080] [00093] [00102] [00102]
**τῶν** [00001] [00010] [00010] [00014] [00014] [00015] [00028] [00030] [00033] [00038] [00046] [00057] [00059] [00060] [00061] [00061] [00064] [00064] [00069] [00071] [00071] [00078] [00087] [00097] [00097] [00099] [00100] [00101] [00102]

**ὑγιαίνοντες** [00061]
**ὑγίειαν** [00030]
**υἱὸν** [00088]
**υἱούς** [00007]
**ὑμᾶς** [00032] [00045] [00052] [00058]
**ὑμεῖς** [00005] [00008] [00016] [00050] [00093]
**Ὑμεῖς** [00099]
**ὑμετέραν** [00004] [00029]
**ὑμετέρας** [00011]
**ὑμετέρους** [00004]
**ὑμῖν** [00005] [00047] [00050] [00055]
**ὑμῶν** [00010] [00012] [00031] [00033] [00052] [00097] [00100] [00100]
**ὕπατοι** [00071]
**ὑπερβολῇ** [00038]
**ὑπὸ** [00059]
**ὑπό** [00050]

**φαίνεται** [00010]
**φειδῶ** [00075]

**φερούσης** [00036]
**φθεγγόμενος** [00057]
**φιάλαις** [00027]
**φιλανθρωπίᾳ** [00102]
**φιλάνθρωπος** [00084]
**φιλοσοφίαν** [00040]
**φιλοστοργίας** [00018]
**φιλότεκνον** [00011]
**φιλούντων** [00015]
**φιλτάτων** [00087]
**φίλτρον** [00005] [00094] [00101]
**φίλτρου** [00006]
**φυγαδευτήριον** [00023]
**φυλάττοντες** [00005]
**φύσεως** [00094]
**φύσιν** [00018] [00018]
**φυτευσαμένοις** [00018]
**φωνῆς** [00051] [00058]
**φωτὸς** [00021]

**χαρακτῆρας** [00084]
**χάριν** [00061]
**χάριτι** [00102]
**χάριτος** [00010] [00050]
**χειμῶνος** [00069]
**χεῖρας** [00058]
**χθὲς** [00006]
**χορόν** [00064]
**χρή** [00038]
**Χριστοῦ** [00102]
**χρόνον** [00093]
**χρόνος** [00089]
**χρόνου** [00045]
**χρόνῳ** [00080] [00095]
**χρυσοῦν** [00014]
**χωρισμὸν** [00036]

**ψιλὰ** [00015]
**ψιλὸν** [00012]
**ψυχῇ** [00088]
**ψυχὴν** [00057] [00076] [00080] [00080]
**ψυχῆς** [00023]

**ᾠκονόμησεν** [00080]
**ὢν** [00102]
**ὡς** [00012] [00015] [00024] [00027] [00032] [00033] [00039]
**ὥσπερ** [00014] [00021] [00021] [00021] [00050] [00052] [00059] [00062] [00067]
**ὥστε** [00046] [00072]